7438. Papyrus. **Brief.** *V. Martin*, A letter from Constantinople, Journal of Egyptian Archaeology 15 (1929), 96 f. (P. Genf Inv.-No. 210). *Wilcken*, Archiv 9 (1930), 251. Aus Konstantinopel (wohl in Aproditô gefunden). Ein Lichtbild soll in der Publikation der New Palaeographical Society erscheinen. Zeit Justinians.

[Διόσ]κ[ορο]ς ὁ θαυμάσιος ὁ τήνδε μου τὴν ἐπιστολὴν ἀποδιδοὺς | [2] [τῇ ὑμ]ετέρᾳ ἐνδόξῳ ὑπεροχῇ ὥρμηται μὲν ἐκ τῆς Θηβαίων χώρας | [3] [ἀδ]ι[κ]ηθεὶς δέ, ὥς φησιν, παρά τινων αὐτόθι τὴν ἐντεῦθεν βλάβην | [4] ἀ[να]φέρων εἰς τὴν βασιλίδα ταύτην παρεγένετο πόλιν ἱκέτης τε | [5] γενόμενος τοῦ εὐσεβ(εστάτου) δεσπότου θείων ἔτυχεν συλλαβῶν πρὸς τὴν | [6] ὑμετέραν φιλανθρωπείαν. μίαν ταύτην αὐτῷ βοήθειαν ἀσφαλῆ | [7] καλῶς ὑπολαβὼν τὴν ἐκ τῆς ὑμετέρας δικαιοσύνης ἐπικουρίαν | [8] ταύτης δεῖται τυχεῖν παρ' ὑμῶν καὶ τὴν ἐπιστολὴν ὑπὲρ τούτων | [9] ᾔτησεν πρὸς ὑμᾶς. οἶδα δέ, ὅτι καὶ τῆς ἐμῆς αἰτήσεως χωρὶς | [10] αὐτῷ τε καὶ τοῖς ἄλλοις ἅπασιν τὰ δίκαια δίδωσιν ἡ ὑμετέρα | [11] ὑπεροχή. παρακαλῶ δὲ καὶ σπουδήν τινα πλείω προστεθῆναι Διοσκόρῳ | [12] τῷ θαυμασίῳ, ὥστε κἀμὲ χρήσιμον αὐτῷ φανῆναι καὶ ὑμᾶς πολλῷ | [13] πλείονα τὸν ἀπὸ τοῦ δεσπότου θεοῦ μισθὸν ἀπολαβεῖν. †

Abschnitte sind durch ein Spatium gekennzeichnet, so Z. 6 vor μίαν, Z. 9 vor οἶδα, Z. 11 vor παρακαλῶ. — Spuren der Adresse sind auf dem Verso vorhanden. — Dioskoros ist wohl der bekannte Notar und Poët aus Aphroditô (vgl. *J. Maspero*, Un dernier poète grec d'Égypte, Dioscore fils d'Apollos, Rev. des Études grecques 24, 1911, 426; *Bell*, P. London V S. 26 u. ö.). Das Schreiben ist wohl an den *dux et augustalis Thebaidis* gerichtet.

7439. Bauinschrift. *G. Lefebvre*, Recueil des inscriptions grecques-chrétiennes d'Égypte No. 584. *G. Rouillard*, De l'attribution du titre de décurion au duc de Thébaïde Théodore, Byzantion 2 (1926), 141 f. Kaimauer der Insel Philai. 14. Dezember 577 n. Chr. Berlin, Staatl. Museen, Inv.-No. 2136.

Τῇ τοῦ δεσπότου Θ(εο)ῦ προνοίᾳ καὶ τύχῃ τῶν | [2] εὐσεβεστάτων ἡμῶν δεσποτῶν Φλ[α](βίου) Ἰουστίνου | [3] καὶ Αἰλίας Σοφίας αἰωνίων αὐγούστων καὶ αὐτο | [4] κρατόρων καὶ τοῦ θεοφυλάκτου Καίσαρος Τιβερίου | [5] Νέου Κωνσταντίνου καὶ φιλανθρωπίᾳ Θεοδώρου τοῦ | [6] πανευφήμου δεκουρίωνος καὶ δουκὸς καὶ αὐγουσταλί | [7] ου τῆς Θηβαίων χώρας τὸ α (= πρῶτον) ἀνεκτίσθη τὸ τεῦχος τοῦτο | [8] εὐχαῖς τῶν ἁγίων μαρτύρων καὶ τοῦ ὁσιωτάτου ἄββα Θεοδώρου | [9] ἐπισκ(όπου) ἐκ σπουδῆς καὶ ἐπιεικίας Μηνᾶ τοῦ λαμπρ(οτάτου) σι[γγ]ουλαρίου τῆς | [10] δουκιανῆς τάξεως ἐν μηνὶ Χοίακ ιη, ἰνδικ(τίωνος) ια, ἐπ' ἀγαθ[ῷ].

7440. Papyrus. **Epikrisiseingaben.** *E. Bickermann*, Archiv f. Papyrusforschung 9 (1930), 44 f. (nach Abschrift *Bells*). Aus Hermupolis Magna. London, British Museum, Inv.-No. 1600. a) Um den 16. August 132 n. Chr.

7440

a) Δισσό(ν). | 2 Ἐπικριταῖ[ς] | 3 παρὰ Ἑρμ[αί]ου τοῦ καὶ Παθώτου Ἀνουβίω | 4 νος τοῦ καὶ Αἰλουρίωνος Ἡρακλήου τοῦ καὶ | 5 Πετεψόιτος (?), μητρὸς Τετάϊτος Ἁρπαησ[ί]ωνος | 6 Ἑρμοπολ(ίτου) ἀπὸ γ ὀκ[τα]δράχμου ἀναγραφομ[έ]ν[ου] | 7 ἐπ[ὶ Πό]λ(εως) Ἀπηλ(ιώτου). Ἐπεὶ ὁ ἄλλος μου υἱὸς Ἑρμογένης | 8 ἐκ μητρὸς Βερεῦτος Πλουτᾶτος ἀπὸ γυμν[α | 9 σίου] ἀν[α]γραφομένης ἐπ[ὶ] τοῦ αὐτοῦ ἀμφόδ[ου] | 10 [πρ]οσέβη εἰς τοὺς ιγ< τῷ ἐνεστῶτι ιζL | 11 [Ἁ]δριαν[οῦ Κα]ίσαρος [το]ῦ κυρίου καὶ ὀφείλει | 12 [ἐπ]ικ[ρι]θῆναι ὡς ἐπὶ τῶν ἑτέρων μου | 13 υἱῶν Φιβίω[νο]ς πρεσβυτέρου καὶ Φιβί[ωνος] | 14 νεωτέ[ρ]ου καὶ Δίου τοῦ καὶ Ἑρμείνου μητρ[ὸς] | 15 ⟨⟨τρος⟩⟩ τῆς αὐτῆς, διὸ ἀξιῶ καὶ τοῦτον ἐν τ[οῖς] | 16 . . . . συν τῶν ἀδελφ[ῶν] αὐτ[οῦ | 17 . . .], ὡς κα[θ]ήκει. καὶ ὀμνύω τὴν | 18 Α[ὐ]τ[ο]κράτορ[ος] Κ[αί]σ[αρος] Τραια[νο]ῦ Ἁδριανο[ῦ] | 19 Σεβαστοῦ τύχην [μηδ]ὲν διεψεῦσθαι. L ι[ζ] | 20 [Αὐ]το[κ]ράτορος [Κ]αί[σα]ρος Τραιανοῦ Ἁδριαν[οῦ] | 21 Σ[εβα]στοῦ, Μεσορὴ κγ. Ἑρμαῖος ὁ κ[αὶ] Παθώτ[ης] | 22 Ἀνουβ[ί]ων[ος . . .] Φιβίωνος (?) νεωτέρο[υ] | 23 [ἐπιδέδωκα καὶ] ὤμοσα τὸν ὅρκον.

b) | 24 [ἀναγραφόμε] | 25 ν[ο]ς ἐπ' ἀ[μ]φ[ό]δ(ου)] Φ[ρο(υρίου) Λιβ(ός). ἐπεὶ ὁ υἱός] | 26 μου Ἀμμώνιος, μητρὸς Θερμούθι[ο]ς | 27 ἀδελφῆς μου τῶν αὐτῶν γονέων προ | 28 έβη εἰς τοὺς τεσσαρεσκαιδεκαετεῖς | 29 τῷ ἐνεστῶτι ιζL Ἁδρια[ν]οῦ Καίσαρος τοῦ | 30 κυρίου, ἐμφέρεται δὲ [τ]οῖς ἐπικρει[νο] | 31 μένοις, εἴ ἐσιν (so!) ἐξ ἀμφοτέρων γ[ο] | 32 νέων μητροπολειτῶν ὀκταδράχ[μ]ων, | 33 [δ]ηλῶ ἐμὲ ἐπικ[ε]κρίσθαι τῇ κ[ατ' οἰ-] | 34 κίαν ἀπογραφῇ [το]ῦ ἑβδόμου ἔτους | 35 θεοῦ Τραιανο[ῦ] συναπογεγραμ[μέ] | 36 νης καὶ τῆς τοῦ ἐπικρεινομέν[ο]υ | 37 μητρός, ἐμοῦ δὲ ἀδελφῆς, Θερμού | 38 [θ]ιος ἐπὶ Φρουρίου Λι[βὸς] κ[αὶ ἄ]λλ[οτε ὁ] | 39 μοίω[ς] καὶ τῇ τοῦ δε[υτέρου ἔτους] | 40 [Ἁ]δρ[ιαν]οῦ Καίσαρο[ς τοῦ κυρίου κατ' οἰ-] | 41 [κίαν ἀ]πογραφ[ῇ] | 42 ? [ἐπὶ ἀμφ]όδ(ου) . . . [| 43] Τραιαν[οῦ | 44]ων θ. [| 45]τω τῇ[ς]. [

Es folgen im Original noch Anfänge von 10 Zeilen eines 3. Dokumentes, die nicht mitgeteilt sind.

27/8. Man würde προσέβη erwarten; die Lesung ist nach *Bell* nicht ganz sicher.

7441—7445. Papyri. *H. B. van Hoesen* and *A. C. Johnston*, Five Leases in the Princeton Collection, The Journal of Egyptian Archaeology 14 (1928), 118—125. Sammlung der Universität Princeton.

(7441). Pachtangebot auf einen Palmgarten. A. a. O. S. 118 No. 1 (AM 8951). Fundort? Wohl 230 n. Chr.

Αὐρηλία Ἀμμωνάριον διὰ Νεικά[νο]ρο[ς . . .] | [2] φίλου παρὰ Ἐπιμάχου Κοττάρα, μ[ητρὸς] Θειω[νίδος?], | [3] καὶ Σύρου Λογγίνου. Βουλόμεθα μισθώσασθα[ι] | [4] παρὰ σοῦ φοινικῶνα λεγόμενον . . . ου ἀπὸ τοῦ | [5] καρποῦ (ἔτους) θ' ἐκπίπτοντος εἰς τὸ (ἔτος) ι' τοῦ | [6] ἐνεστôτος (so!) ἔτους ἀργυρίου δραχμῶν | [7] ἑκατὸν ἑξήκοντα καὶ ταγῆς φοίνικος | [8] μονοξύλου ἀρτάβην μίαν ἥμυσου (so!) καὶ | [9] κάλλυνθρα δύο καὶ καλάτια ε̄ τῶν ἔργων | [10] πάντων ὥντων (so!) πρὸς ἡμᾶς τοὺς μισθοσα | [11] μένους (so!) ποτισμοῦ τε καὶ περιχοματισμοῦ (so!) | [12] [κα]ὶ ὀχίας καὶ κατασπασμοῦ⟨⟨ς⟩⟩ καὶ παραδώ | [13] [σομεν καθὼς καὶ ἡμεῖς] παρηλήφα[μεν], ἐὰν | [14] [φαίνηται μισθώσασθα]ι. (2. H.) Ἐπίμαχ[ος | [15] μεμίσθωμαι. (3. H.) Σ]ύρος μεμ[ίσθωμαι, | [16] ὡς πρόκειται].

1. Gemeint ist Αὐρηλίᾳ Ἀμμωναρίῳ, *B.* [so auch *W.*, Archiv 9 (1930) S. 249]. 9. L. καλάθια.

(7442). Pachtung eines Hauses und Hofes. A. a. O. S. 119 No. 2 (Dep. 7549). Oxyrhynchos. 1. Hälfte des 3. Jahrh. n. Chr.

Ἐμίσθωσεν Αὐρηλία Δημητροῦς Διο | [2] νυσίου[[ς]] τοῦ καὶ Ἡρακλιανοῦ διὰ τοῦ | [3] ἀ[ν]δρὸς Αὐρηλίου Σερήνου Σαραπίωνος | [4] ἀπὸ τῆς λαμπρᾶς [Ὀ]ξυρυγχειτῶν πόλεως | [5] τῶν ἐξ ἐφηβείας ἱερονεικῶν Αὐρη(λίῳ) | [6] Ἀχιλλεῖ Ἑρμίου, μητρὸς Ταδιογᾶτος, ἀπὸ | [7] τῆς αὐτῆς πόλεως ἐπ[ὶ χρόν]ον ἔτη τρία | [8] ἀπὸ α' τοῦ ἑξῆς μηνὸς Θὼθ τοῦ ἰσιόντος | [9] ἔτους ἐν τῇ αὐτῇ πόλει ἐπ' ἀμφόδου Λυ | [10] κίων Παρεμβολῆς οἰκίαν καὶ αὐλὴν σὺν | [11] [χρηστηρίοις πᾶσι] Rest fehlt.

(7443). Verpachtung eines Ackers. A. a. O. S. 120 No. 3 (AM 8946). Aus Oxyrhynchos. 285 n. Chr.

[Ἐμίσ]θωσεν Αὐρηλία Ἀμμ[ωνάριον | [2] Θεο]δώρου, μη[τρὸς] Πεναμ[οῦτος, ἀπὸ τῆς] | [3] λαμπρᾶς καὶ λαμπροτά[της Ὀξυρυγχιτῶν] | [4] πόλεως Αὐρηλίῳ Ἰού[στῳ, μητρὸς] | [5] Σατόρνης (?), ἀπὸ τῆς α[ὐτῆς πόλεως | [6] εἰ]ς ἔτη δύο ἀπὸ τοῦ [ἐνεστῶτος ἔτους | [7] τὴ]ν ὑπάρχουσαν αὐτῇ π[ερὶ κώμην] | [8] Ἡ[ρ]ακλεῖον ἄρουραν μ[ίαν ἢ ὅσας ἐὰν ὦσι | [9] ἐκ γ]ε[ω]μετρίας [ὥστε σπεῖραι καὶ ξυλα | [10] μῆσαι] οἷς ἐὰν αἱρῆται [γ]ένεσι ἐκφορ[ί]ου | [11] [ἀ]πο-[τ]άκτου κατ' ἔτος κριθῆς ἀρταβῶν | [12] δέκα ἀκινδύνου παντὸς κινδύνου | [13] τῶν τῆς γῆς κατ' ἔτος δημοσίων ὄντων | [14] πρὸς τὴν μεμισθωκοιυῖαν (so!) κυριεύουσαν | [15] πάντων καρπῶν, ἕως τὴν κριθὴν | [16] ἀπολάβη. βεβαιωμένης δὲ τῆς | [17] μισθώσεως ἀποδότω τὴν κριθὴν | [18] τῷ Παῦνι μηνὶ νέαν καθαρὰν μέτρῳ | [19] δεκάτῳ ἀνυπερθέτως γινομένης αὐτῇ | [20] τῆς πράξεως,

ὡς καθήκει. κυρία | [21] ἡ [μίσ]θωσις, περὶ ἧς ἐπερωτηθεὶς | [22] ὁ μ[ε]μισθωμένος ὡμολόγησεν. | [23] (Ἔτους) β´ Αὐτοκράτορος Καίσαρος Γαίου | [24] Οὐαλερίου Διοκλητιανοῦ Εὐσεβοῦς | [25] Εὐτυχοῦς Σεβαστοῦ, Τῦβι δ´. | [26] Αὐρ(ήλιος) Ἰοῦστος μεμίσθωμαι τὴν γῆν | [27] καὶ ἀποδώσω τὴν κρειθήν, ὡς πρόκειται, | [28] καὶ ἐπερωτηθεὶς ὡμολόγησα. Αὐρ(ήλιος) Διο | [29] [ν]ύσιος ἔγρ(αψα) ὑπὲρ αὐτῆς μὴ εἰδουείας (so!) γράμ(ματα).

8. Der Ortsname ist sehr unsicher.

(7444). Zimmermiete. A. a. O. S. 121 No. 4 (Dep. 7548). Oxyrhynchos. Spätes 3. oder frühes 4. Jahrh. n. Chr.

[Τῷ δεῖνι τοῦ δεῖνος καὶ τῷ δεῖνι τοῦ δεῖνος κτλ.] | [2] παρ[ὰ Α]ὐρηλίο[υ Παύλου τοῦ δεῖνος ἀπὸ τῆς λαμ(πρᾶς) καὶ λαμ(προτάτης) | [3] Ὀξυρυγχι]τῶν πόλεω[ς. Ἑκουσίως ἐπιδέχομαι μισθώσασθαι | [4] ἀπὸ α´ τοῦ μ]ηνὸς Θὼ[θ τοῦ ἐνεστῶτος ἔτους | [5] ἀ]πὸ τῶν ὑπαρχόντων ὑμῖ[ν] ἐν τ[ῇ αὐτῇ πόλει ἐπ' ἀμφόδου] | [6] Δεκάτης ἀπὸ ὁλοκλήρου [ο]ἰκίας [........ καὶ] | [7] τὸ ὑπερῷον καὶ τελέσιν [ὑμῖ]ν ὑπὲρ ἐνοικ[ίου] κατ' | [8] ἔτος [ἕκαστον] ἀργυρίου δρα[χ]μὰς σξ´, ἅπερ β[ε]βαιου | [9] μένης μοι τῆς ἐπιδοχῆς ἐπάναγκες ἀποδώσο (so!) | [10] τὸ κατ' ἔτος ἐνοίκιον δι' ἑξαμήνου τὸ ἥμισυ χρώμενος | [11] [το]ῖς μισθωτῖσί (so!) μοι τόποις ἐπὶ τὸν χρόνον ἀκωλύτως, | [12] [μεθ'] ὃν παραδώσω ἀπὸ κοπρίων καὶ δίσης πάσης καὶ ἅσ | [13] [πε]ρ παραλάβω θύρας καὶ κλεῖς ἢ ἀποτίσομαι, οὗ ἐὰν μὴ | [14] [παρ]αδῶ τὴν ἀξίαν τιμὴν γενομένης ὑμῖν τῆς | [15] [πράξεως] παρά τε ἐμοῦ, ὡς καθήκι (so!). κυρία ἡ ἐπ[ιδοχὴ] | [16] καὶ ἐπ[ε]ρωτηθεὶς ὡμολόγησα. | [17] Ὑπατείας Φλ.... .... | [18] τῶν λαμπροτάτων ἐπά[ρχων] ...... Θὼθ.. | [19] (2. H.) Αὐρήλιος Παῦλος μεμίσθωμαι | [20] [τόπο]υς οἰκία[ς] καὶ ἀποδώσω τὸ | [21] [ἐνοί]κιον, ὡς πρόκιται, καὶ | [22] [ἐπερ]ωτηθεὶς ὡμολόγησα.

(7445). Hausmiete. A. a. O. S. 122 No. 5 (Dep. 7546). Oxyrhynchos. 12. Juli 382 n. Chr.

Μετὰ τὴν ὑπατείαν Φλ(αουίων) Εὐχαιρίου | [2] καὶ Συαγρίου τῶν λ[α]μ(προτάτων), Ἐπεὶφ ιη´. | [3] Φλ[α]ουίῳ Κρησπείνῳ ἀπὸ πραιποσ(ίτων) | [4] γε[ο]υχοῦντι ἐπ[ὶ τ]ῆς λαμ(πρᾶς) καὶ λαμ(προτάτης) Ὀξυ(ρυγχειτῶν) πόλε(ως) | [5] παρ[ὰ] Αὐρηλίας Νόννας Ἀρτεμιδώρο[υ] | [6] ἀπὸ τῆς αὐτῆς πόλεως. Ἑκουσίως | [7] ἐπιδέχομαι μισθώσασθαι ἀπὸ α´ | [8] τοῦ ἑξῆς μηνὸς Μεσορὴ τοῦ | [9] ἐνεστῶτος (ἔτους) νε´ ζ´ γ´ τῆς ια´ ἰνδικ(τίωνος) | [10] ἀπὸ τῶν ὑπαρχόντων σοι ἐν τῇ | [11] αὐτῇ πόλει ἐπ' ἀμφόδου Δρόμου | [12] Θοήριδος ὁλόκλη-

ρον οἰκίαν | ¹³ σὺν χρηστηρίοις πᾶσι ἐνοικίου | ¹⁴ κατ' ἔτος ἀργυρίου δηναρίων μυ | ¹⁵ ρ[ί]ας τετρακισχιλίας πεντακοσίας, | ¹⁶ ἅσπερ ἀποδώσω δι' ἑξαμή | ¹⁷ νου τὸ ἥμισυ, καὶ ὁπ[ό]ταν | ¹⁸ β[ουλ]ηθεί[ης, παρ]αδώσ[ω σοι τὴ]ν αὐ | ¹⁹ τ[ὴν οἰ]κίαν [κα]θαρὰν [ἀπ]ὸ κοπρίω(ν) | ²⁰ κ[αὶ δί]σης π[άσ]ης, ὥ[σπερ παρ]είλιφα (so!). | ²¹ κ[υρ]ία ἡ μί[σ]θωσις [κα]ὶ ἐπερ(ωτηθεὶς) | ²² ὡμολόγ(ησα). Freiraum. | ²³ Αὐρηλία Νόννα Ἀρτεμιδώρου | ²⁴ μεμίσθωμαι τὴν οἰκίαν καὶ ἀπο | ²⁵ δώσω τὸ ἐνοίκιον, ὡς πρόκ(ειται). | ²⁶ Αὐρήλιος Δωρ[ό]θεος Νίλου ἔγαψα ὑπὲρ αὐτῆς γράμματα μὴ εἰδυείης (so!).

7446. Papyrus der Zenonkorrespondenz. **Beschwerde an den König (Enteuxis).** *C. C. Edgar*, Three Ptolemaic Papyri, The Journal of Egyptian Archaeology 14 (1928) S. 289 f. No. 2. *Wilcken*, Archiv 9 (1930), 235. Linke Hälfte in Kairo, Museum No. 48937, rechte Hälfte in der Sammlung der Universität Michigan (Inv.-No. 3138). Aus Philadelpheia (Faijûm). 3. Jahrh. v. Chr. (Zeit Euergetes' I.)

Βασιλεῖ Πτολεμαίωι χαίρειν Ἄτταλος. Ἀδικοῦμαι ὑπὸ Πτολεμαίο[υ μεί]ους τοῦ Πτολεμαίου πράκτορος ἰδιωτικῶν. | ² γράψαντος γὰρ Σηράμβου τοῦ παρὰ Ἀριστομάχου καθεσταμένου στρ[ατηγ]οῦ πρόσταγμα Πτολεμαίωι, ἐπειδὴ Ἀπολλώνιος | ³ οὐδ' ἔτι καὶ νῦν καθέστηκεν Ἀπολλωνίαν, ἐὰμ μὴ ἔτι καὶ νῦν καταστήσηι ἐν ἡμέραις ῑ, | ⁴ εἰσπράξαντα Ἀπολλώνιον πωλοδαμαστὴν ⊢μγ ἀποδοῦναί μοι, καὶ λαβὼν τὸ πρόσταγμα καὶ τοῦ Ἀπολλωνίου | ⁵ οὐ καθεστηκότος τὴν Ἀπολλωνίαν καὶ ἐξελθουσῶν τῶν ἡμερῶν καὶ ἄλλου πλείω ἐπιγενομένου χρόνου | ⁶ ἀπαιτούμενος ὑπό μου τὰς μγ⊢ οὐκ ἀποδίδωσι. δέομαι οὖν σου, εἴ σοι δοκεῖ, μὴ περιίδης με ἀδικηθέντα ὑπ' αὐτοῦ, | ⁷ ἀλλὰ προστάξαι Ἀφθονήτω[ι τῶι] στρατηγῶι γράψαι Σηράμβωι, ἂν ἦι ἀληθῆ, εἰσπράξαντα Πτολεμαῖον τριπλῆν τὴν | ⁸ πρᾶξιν κατὰ τὸ διάγραμμα ⊢ρκθ ἀποδοῦναί μοι, καὶ ὦ διὰ σὲ τοῦ δικαίου τετευχώς. | ⁹ Εὐτύχει.

7447. Papyrus der Zenonkorrespondenz. **Kgl. πρόσταγμα über Bürgschaften.** Ebd. S. 291 f. No. 3. Vgl. *Wilcken*, Archiv 9 (1930), 235 f. Sammlung der Universität Michigan (Inv.-No. 3106). Aus Philadelpheia (Faijûm). Wohl 238/7 v. Chr.

Βασιλέως προστάξαντος, | ² Αἰσχύλου τοῦ παρὰ Σωστράτου | ³ ἀπαγγείλαντος Ζήνωνι. | ⁴ Ὑπὲρ οὗ ἐνέτυχεν Ἡνίοχο[ς] | ⁵ τῶν Ἀνθίππου ταξίαρχος, | ⁶ εἰ ἔγγυος γεγένηται | ⁷ παραμονῆς Καλλίου πρὸς Εὐκλῆ, | ⁸ καταστήσας τὸ σῶμα ἀφείσθω | ⁹ τῆς ὑπερημερίας, κατὰ | ¹⁰ ταὐτὰ δὲ καὶ ὅσοι

6*

ἐγγυῶνται | [11] παραμονῆς τινες καταστή | [12] σαντες τὸ σῶμα ἀφείσθωσαν | [13] τῆς ἐγγύης καὶ μὴ ἐκκλειέσ | [14] θωσαν τῆς ὑπερημερίας. | [15] Lι, Αὐδναίου.

8/9. Möglicherweise hat der Schreiber zwischen beiden Zeilen eine vergessen, etwa τῆς ἐγγύης καὶ μὴ ἐκκλειέσθω (so auch *Wilcken*). 11. L. wohl τινος, *W.*

7448. Bericht über eine Gesandtschaft der Alexandriner an Augustus. *M. Norsa* und *G. Vitelli*, Da Papiri greci della Società Italiana: 2. Resoconto di una πρεσβεία di Alessandrini ad Augusto, Bulletin de la Société Archéologique d'Alexandrie No. 25 (1930) S. 9 f. Fundort unbekannt. Zeit des Augustus. Florenz, Sammlung der Società Italiana. Spuren einer vorhergehenden Kolumne sind vorhanden.

μ̄ κ̄β | [2] ἀναγκαῖον ἐπὶ ποσὸν εἰπεῖν. φημὶ γὰρ ταύτην φρ[ο]ντιεῖν, ἵνα | [3] μή τι τῶν μελλόντων τινὲς λαογραφῖσθαι τοῖς κατ' ἔτος ἐφήβοις | [4] συνεγγραφόμενοι ἐπὶ τὴν δημοσίαν τ . . [. . . . .] πρόσοδον | [5] ἐλασσῶσι, καὶ τὸ π⟨ο⟩λείτευμα τῶν Ἀλεξανδρείων . [.] . ρ . . . . ὑπάρ | [6] χον ἄθρεπτοι καὶ ἀνάγωγοι γεγονότες ἄνθρωποι μολύνωσι· εἰ δέ | [7] τις καταβαρβαροῖτο παρὰ λόγον πραττόμενος ἢ ὑπὸ ἰδί[ο]υ λόγου ἤ | [8] τινος πράκτορος ἀνθρώπους διασείοντος, συνερχομένη ἡ βου | [9] λὴι (so!) πρὸς τὸν σὸν ἐπίτροπον συνεπισχύηι τοῖς ἀσθ[ε]νοῦσι καὶ μὴ | [10] δι' ἐρημίαν βοηθείας τὰ σοὶ τηρῖσθαι δυνάμενα ὑπὸ τῶν τυχόντων | [11] ἀνθρώπων διαφορήσῃ· ἔτι δέ, εἰ δέοιτο πρεσβείαν πρὸς σὲ πέμ | [12] πειν, αὕτη προχειρίζηται τοὺς ἐπιτηδείους καὶ [μήτε γυ?] | [13] μνός τις ἐκπορεύσηται (μήτε . . . . . τος τις) μήτε ε[ὔθετός τις] | [14] ὢν φεύγηι τὴν τῆς πατρίδος ὑπηρεσίαν, ἀξιοῦμ[εν?] | [15] τὴν βουλὴν κατ' ἐνιαυτὸν γειν[. . . .] . . . . μ . [— τὰς] | [16] εὐθύνας διδόναι τῶν διαπεπραγ[μένων

] | [17] τὸν γραμματέα τῆς βουλῆς καλὸν [

] | [18] προσοριζόμενον χρόνον ε[

] | [19] διδομένηι (so!) τὸν χρόνον τοῦτο[ν

] | [20] γείνεται τῶν νόμων, δέσπο[τα

] | [21] ⌒ Καῖσαρ εἶπεν [

] | [22] περὶ τούτων διαλήμψο[μαι

] | [23] εἰς Ἀλεξάνδρε[ιαν

5. L. vielleicht ἀ[κ]ήρατον. 11. Es scheint διαφορῆσαι in -ήσῃ korrigiert zu sein. 12. Pap. προχειρήζηται. 13. ἐκπορεύσειται in -σηται verbessert. 15. Möglich ist γείν[εσθα]ι καὶ με[. 18. Pap. προσωριζόμενον.

7449. Eingabe an den Bischof von Oxyrhynchos um Schutz gegen einen Mönch. *H. J. Bell*, The episcopalis audientia in Byzantine

Egypt, Byzantion I (1924), 139 f. Aus Oxyrhynchos. 2. Hälfte des 5. Jahrh. n. Chr. London, British Museum, Inv.-No. 2217.

Τῷ ἁγιωτάτῳ καὶ [εὐσε]β(εστάτῳ) ἄπα Θεοδώρῳ ἐπισκ(όπῳ) τῆς | [2] λαμπρᾶς καὶ λαμ[προτ]άτης Ὀξυρυγχιτῶν πόλεως | [3] παρὰ Αὐρηλίας Νόννα[ς] ἀπὸ κώμ(ης) Σπανίας τοῦ Ὀξυρυγχ(ίτου) νομοῦ. | [4] Ἀλύπιος μονάζων ὁρμώμενος ἀπὸ τῆς ἡμετέρας | [5] κώμης ἀδελφιδοῦ[ς] ἡμέτερος τυγχάνων τὴν ἐμὴν | [6] θυγατέρα μικκὴ⟨ν⟩ ἠθέλησεν δοῦναι Ἀπαείωνι συγγενεῖ | [7] πάλιν ἡμετέρῳ. τοῦτο δὲ ποιῆσαι ἐσπούδασαν ⟨οἱ⟩ ἡμέτερα | [8] πράγματα ἔχοντες καὶ μὴ θέλοντες, ταῦτά μοι ἀποκαταστῆσαι. | [9] ἐπὶ τοίνυν Θε.. ἡ μου θυγάτηρ ἐκείνῳ ⟨οὐ?⟩ βούλεται συνά | [10] πτεσθαι, π[αρὰ] τὸ σχῆμ[α] δὲ διαπραττόμενος ὁ μονάζων | [11] πληγάς μοι ἐπήγαγεν καὶ τὴν ἐσθῆτά μου διέρ⟨ρ⟩ηξεν | [12] καὶ ἀχρίαν ἀπέδιξεν, τούτου [χάρ]ιν παρακαλῶ σου | [13] τὴν ἁγιοσύνην κατελεῆσαί με καὶ κελεῦσαι αὐτὸν | [14] ἐνεχθῆναι καὶ τύπον με δέχεσθαι τὸν τῇ σῇ ἁγιοσύνῃ | [15] παριστάμενον, ἁγιώτατε ἐπίσκοπε κύριε. | [16] (2. H.) † Αὐρ[η]λί[α Νόννα ἐπιδ]έδωκα.

7. ποιῆσαι: zweites ι nachträglich zugefügt. 13 u. 14. L. ἁγιωσύνην.

7450. Entwurf einer Anzeige gegen einen säumigen Schuldner, nebst Abschrift des Vertrages und Schuldenaufrechnung. *W. L. Westermann*, A Lease from the estate of Apollonius, Memoirs of the American Academy in Rome VI (1927), 147 f. mit Lichtbild Plate 53—4. *Wilcken*, Archiv 9 (1930) S. 67 f. Aus der Zenonkorrespondenz. Philadelpheia (Faijûm). Um 250/49 v. Chr. (?). New York, Columbia-Universität, Inv.-No. 270.

Kol. I. (1. H.) Βασιλεύοντος Πτολεμαίου τοῦ Πτολεμαίου Σωτῆρος (ἔτους) λ, ἐφ' ἱερέως | [2] Ἀλεξάνδρου τοῦ Λεωνίδου Ἀλεξάνδρου καὶ θεῶν Ἀδελφῶν, κανηφόρου Ἀρσινόης | [3] Φιλαδέλφου Πρεπούσης τῆς Δημητρίου, μηνὸς Πανήμου, Αἰγυπτίων δὲ Ἐπεὶφ ι, | [4] ἐξέλαβεν Ἡγήσαρχος Θεοπόμπου καὶ Θεόπομπος Ἡγησάρχου καὶ Νικόδημος Ἡγησάρχου | [5] οἱ τρεῖς Μακεδόνες τῆς ἐπιγονῆς παρὰ Ζήνωνος τοῦ Ἀγρεοφῶντος Καυνίου τῶ[ν περὶ] | [6] Ἀπολλώνιον τὸν διοικητὴν ἀπὸ τῶν δεδομένων παρὰ τοῦ βασιλέως ἐν τῶι Ἀρσινο[ί]τ[ηι] | [7] νομῶι κατὰ Φιλαδέλφειαν Ἀπολλωνίωι τῶι διοικητῆι ἀ(ρο)υ(ρῶν) $\overset{\alpha}{M}$ γῆς σπορίμου ἐν τῶι | [8] $\bar{\gamma}$ περιχ(ώματι) τῶι ἀπ⟨ὸ β⟩ορρᾶ πρὸς νότον ἀ(ρο)ύ(ρας) ρ εἰς ἐνιαυτόν, ἑκάστην ἄ(ρο)υ(ραν) πρὸς πυρὸν ἀν(ὰ) ἀ(ρτάβας) $\bar{\zeta}$ (ὄγδοον) ἀκίνδυνον | [9] καὶ ἀνυπόλογον παντὸς ὑπολόγου. δοθήσεται δὲ εἰς μὲν τὴν πυροφόρου σπέρμα τῆι ἀ(ρο)ύ(ραι) ἀ(ρτάβης) (ἥμισυ), | [10] εἰς δὲ τὴν κριθοφόρον κατὰ λόγον καὶ εἰς ἀνήλωμα ἑκάστηι ἄ(ρο)ύ(ραι)

κρ(ιθῆς) ἀ(ρτάβη) α καὶ εἰς βοτανισμὸν κρ(ιθῆς) ἀ(ρτάβης) (ἥμισυ) | [11] καὶ εἰς ξυλοκοπίαν, ἐὰν ἐμπίπτηι κοπάς, ὅσον ἂν συγκριθῆ ἱκανὸν εἶναι δίδοσθαι εἰς ἑκάστην | [12] ἀρουρῶν. ἀπομετρείτωσαν δὲ Ἡγήσαρχος καὶ Θεόπομπος καὶ Νικόδημος τὸν σῖτον εἰς τὸ | [13] ἐκφόριον ἐν τῶι ἐμ Φιλαδελφείαι θησαυρῶι κατὰ τὸ σιτολογικὸν διάγραμμα ἐμ μηνὶ | [14] Δαισίωι τῶι ἐν τῶι λα (ἔτει), ὡσαύτως δὲ καὶ ὃν ἂν λαμβάνωσιν σῖτον εἰς σπέρμα καὶ | [15] βοτανισμὸν καὶ ἀνήλωμα καὶ ὅσον ἂν ἀργύριον εἰς τὴν κοπάδα δανείσωνται ἢ σῖτον | [16] ἀντὶ τοῦ ἀργυρίου, τῶμ μὲν πυ(ρῶν) τὴν ἀ(ρτάβην) πρὸς χαλκὸν (δραχμὴν) α (διώβολον), τῆς δὲ κρ(ιθῆς) κατὰ λόγον. κατασπει | [17] ράτωσαν δὲ Ἡγήσαρχος καὶ Θεόπομπος καὶ Νικόδημος, ἧς ἐξειλήφοσι γῆς, τὰ μὲν | [18] δύο μέρη πυρῶι, τὸ δὲ τρίτον μέρος κριθῆι. ἐὰν δὲ μὴ ποιῶσι, καθὰ συνεγράψαντο, | [19] ἐξέστω Ζήνωνι ἑτέροις ἀμομισθοῦν τὴν γῆν. τὸ δὲ βλάβος, ὃ ἂν καταβλά[[β]]ψωσι τὴν | [20] Ἀπολλωνίου πρόσοδον ἢ πρὸς τὸ ἐκφόριον καὶ τὰ δάνεια, ὃ ἂν προσοφειλήσωσι (so!), ἀποτεισά | [21] τωσαν Ζήνωνι παραχρῆμα ἡμιόλιον. ἡ δὲ πρᾶξις ἔστω Ζήνωνι ἢ ἄλλωι ὑπὲρ

ῶν ων

αὐτοῦ | [22] πράσσοντι ἔκ τε αὐτῶν καὶ τ[[ου]] ἐγγύ[[ου]] καὶ τῶν ὑπαρχόντων αὐτο[[υ]]ῖς πάντων | [23] καὶ ἐξ ἑνὸς καὶ ἐκ πάντων ὡς πρὸς βασιλικά. ἔγγυοι τῶν κατὰ τὴν συγγραφὴν | [24] εἰς ἔκτισιν οἱ συγγεγραμμένοι ἀλλήλων καὶ Ἀμμώνιος Θέωνος Κυρηναῖος τῶν [ἐ]πέργων. | [25] ἡ δὲ συγγραφὴ ἥδε κυρία ἔστω, οὗ ἂν ἐπιφέρεται. μάρτυρες· Δᾶμις Κλέωνος, Σώστρατος | [26] Κλέωνος, οἱ δύο Ἐλένειοι, Θεόπομπος Ἀριστίωνος Θεσσαλὸς ἰατρός, Διόδωρος Ζωπύρου | [27] Μάγνης τῶν περὶ Ἀπολλώνιον τὸν διοικητήν, Ἀγαθῖνος Πύρρου Κυρηναῖος τῶν ἐπέρ̣γ̣ων, | [28] Ἄνοσις Τοτορχόιτος Σαίτης κωμογραμματεὺς Φιλαδελφείας. | [29] συγγ[ρα]φ̣[ο]φ̣ύλαξ Δᾶμις.

Kol. II. | [30] ἔσ̣τιν τὸ ἐκφόριον τῶν ρ ἀ(ρο)υ(ρῶν) εἰς πυ(ρὸν) ἀ(ρτάβαι)

ιβ (ἥμισυ) καὶ σπέρμα ἔχουσι

Ψ[[πε (ἥμισυ) (τέταρτον)]] | [31] κα[ὶ] τὸ δεδομένον εἰς τὸν σπόρ̣[ον] καὶ

εἰς πυ(ρὸν) ἀ(ρτάβας) ογ [(τέταρτον)]

τὰ λοιπὰ ἔργα | [32] χαλκοῦ (δραχμαὶ) ρ, αἳ πυ(ροῦ) κατὰ τὴν συγγραφὴν | [33] τῆς μισθώσεως ὡς τῶν πυ(ρῶν) ἀ(ρτάβη) [α ⊢ α =], ἀ(ρτάβαι) οε | [34] (γίνονται) πυ(ροῦ) ἀ(ρτάβαι) ωξ (ἥμισυ) (τέταρτον). | [35] [[Spuren]] εἰς τοῦτο μ(ετρήσει) πυ(ροῦ) [ἀ(ρτάβας) ογ (τέταρτον)] | [36] εἰς τὸ ἀποδοχίαν εἰς πυ(ρὸν) [ἀ(ρτάβαι)] ι̣ζ̣ (ἥμισυ) (δωδέκατον)[1] | [37] καὶ ἡμιολίαν ἀπὸ (ἔτους) λα ἕως το̣ῦ̣ λε (ἔτους)

[1] Am rechten Rande steht: | [36a] ὀφείλουσι πυ(ροῦ) | [36b] ψξθ (ἥμισυ) (τρίτον) (δωδέκατον).

| [38] ἐτῶν ε ἑκάστου ἐνιαυτοῦ πυ(ροῦ) ἀ(ρτάβαι) τμζγʹ, | [39] τῶν δὲ ε (ἐτῶν) πυ(ροῦ) ἀ(ρτάβαι) ᾿Αψλςβʹ | [40] ς (ἥμισυ) (δωδέκατον) | [41] τὸ

ς (ἥμισυ) (δωδέκατον).

πᾶν [ὀφ]είλουσι πυ(ροῦ) ἀ(ρτάβας) ᾿Βφ[[λβ (τρίτον) (δωδέκατον)]].

Kol. III. (1. H.) | [42] κε | [43] ιβ (ἥμισυ)

| [44] (2. H.) ῎Ετους ⟨⟨λγ⟩⟩ ⟨λς⟩, μηνὸς Ξανδικοῦ. ἡμέραν προσθεῖναι | [45] Ζήνων | [46] Θεόπομπον ῾Ηγησάρχου Μακεδ[ό]να | [47]

λοιπὸν τοῦ

τῆς ἐπιγονῆς πρὸς τὸ ἐκφορίου, οὗ προσωφείλησαν | [48] πρὸς τὸ λα (ἔτος)

ὧν ἐξέλαβεν μετὰ ῾Ηγησάρχου καὶ Νικοδήμου

τῶν ρ ἀ(ρο)υ(ρῶν) ἐν ταῖς Μα ἀ(ρο)ύραις ταῖς δεδομέναις [[ς]] ὑπὸ τοῦ | [49]

᾿Απολλωνίωι τῶι διοικητῆι

βασιλέως ἐν δωρεᾶι περὶ Φιλαδέλφειαν τοῦ ᾿Αρσινοίτου. | [50] Κράτωνι ὑπηρέτηι Διογένους πράκτορος τῶν ἰδι | [51] ωτικῶν. πρὸς πυ(ρὸν) ἀ(ρτάβας)

δεῖ

χϙδ (ἥμισυ) (τρίτον) (δωδέκατον). προσθεῖναι τὴν | [52] ἡμιολίαν κατὰ τὴν συγγραφὴν καὶ τὴν τιμὴν παντὸς | [53] ὑποθεῖναι κατὰ τὸ διάγραμμα τὸ περὶ τῶν σιτικῶν | [54] ἐκκειμένων. Es folgen Spuren von 2 radierten Zeilen (55—56) | [57] [[Spuren]] ἐπισκέψασθ[αι] δὲ καὶ ἐν τῶι βασι | [58] λικῶι. δεῖ πράκτορι παραδ[εῖξα]ι τ[ὴν τιμὴ]ν [παντ]ὸς | [59] κατὰ τὴν συ[γ]γρ[α]φ[ήν. προσθεῖνα?]ι τ[ὴ]ν [π]ρ[ᾶ]ξιν | [60] [ε]ἶναι πρὸς βασιλικά. ἔσται δὲ καὶ ἡ

ἀναντιλέ[κτη]

κρίσις [ ] ινιο | [61] [ὑ]στέρα. περὶ γὰρ τῶν τ[ο]ιούτ[ω]ν ἐπεὶ κριτήριον | [62] [ο]ὐχ ὑπάρχει ἐν τῶι ᾿Αρσινοίτηι, ὑπολαμβάνω κρινεῖν | [63] τὸν στρατηγόν. Verso, rechtes Ende: | [64] (1. H.) Διάλογος πρὸς Θεόπομπον. Verso, linkes Ende: | [65] (3. H.) Διάλογος.

7/8. u. δ. P. αυ. Verb. *B.* 12. L. ἄρουραν. 32. Hg. statt αἳ *(Wilcken)* μ(ετρήσει). 33. Hg. ὡς τῶν ρ (δραχμῶν); *Wilcken*: ὡς τῶν πυ(ρῶν) (ἀρτάβη) [ανα =], ἀρτάβαι οε. Ich muß gestehen, daß auf dem mir vorliegenden Lichtbild hinter ὡς τῶν so gut wie nichts sichtbar ist, *B.* 35. *Wilcken* bezweifelt με(τρήσει), ohne etwas Besseres dafür zu wissen. 36. L. ἀποδόχιον. 38/9. Hg. τμζ (τέταρτον) bzw. ᾿Αψλς (τέταρτον); verbessert von *Wilcken.*

7451. Wachstafeln mit **Rechnungen.** *H. J. Bell*, Waxed tablets of the third century B. C., Ancient Egypt 1927 (Part III) S. 66 f. Von *Flinders Petrie* 1889/90 im Faijûm gekauft, aber wohl aus der Gegend von Ptolemaïs Hormu stammend. Das Wachs ist stellenweise rot gefärbt. Vgl. *Wilcken*, Archiv 9 (1930) S. 100. 3. Jahrh. v. Chr. Besitz von *Flinders Petrie.*

7451

Tafel 67 A (H. A).

Τῆι αὐτῆι ἡ[μ]έρα[ι ἐρέ]-
βινθοι ε̄ ὄξος [.]
λάχανα ⸗ κῖκι[
ε̄ ἄρτ[οι τ]ο[ῖς] πα[ι]δα[ρί]-
5 οις = Ὡ[ρ]ίωνι κα[ὶ]
Ἡρακλίδηι [εἰ]ς ὄψον
λάχα[ν]α ε̄ ξύλ[α .]
Φίλω[νι] καὶ Στρ[άτω]-
νι ἄρτοι ¯ϵ (oder ¯c)
10 ὄξο[ς .] τά[ρ]ιχο[ς .]
λάχ[αν]α ¯ϵ χ[
. . . α . . . . ις . .[
. . . . . . ινθο[

Tafel 67 B (H. B).

[⸗ ἐ]ν Αὐ[ν]ᾶτι βαλανῖ c
15 [. .]σα c¯ϵ κέραμος c
πορθμεῖον c
ἀμίδες ¯ϵ
— ꞔ = ¯ϵχ
= c ε̄ =
20 c ¯ϵ =
c ¯ϵ = / β — ¯ϵχ
— c¯ϵ
— c¯ϵ / ⊢ δ c ¯ϵ
— ϵ¯c – ¯ϵ
25 c ¯ϵ
¯ϵ c
c ¯ϵ
¯ϵ —
¯ϵ

Tafel 68 A (H. C).

30 ς̄ Ἀρτε[μιδώρωι (?)
Ἡρα[κλείδηι (?)
Ἀρτε[μιδώρωι
χοῖρος [
λάχα[να
35 κρέα [
κῖκι [
[ὄ]ξος [
Freiraum.
ζῦτος τοῖ[ς π]αιδα[ρίοις
εἰς βαλανεῖον [
40 / ⊢ α ꞔ c ¯ϵ[

Tafel 68 B (H. C).

ζ τοῖς παιδα[ρ]ίοις ἄρτοι =
Ὡρίωνι ⟨καὶ⟩ Ἡρα[κλ]είδ[η]ι =
ἐν τῇ Νικίω[νος] ἄρτοι Φίλωνι
[κα]ὶ Στράτωνι c ¯ϵ
45 [. .]ιρει c
[ϵ]ἰς δάνειον
[ ] =
[ὄ]ξος ¯ϵ
[πρά ?]σα = ¯ϵ
Freiraum
50 [ἄ]ρτοι τοῖς παιδαρίοις =
[Ὡρί]ωνι καὶ Ἡρακλείδηι =
[Φίλ]ωνι καὶ Στράτωνι ¯ϵ
[. . .]χος = c
[. . .] . ς c ¯ϵ
55 λάχανα c
[. .] . . ⸗ c

Tafel 69 A (H. C?).

ὄξος [
κυβικόν [
῾Ηλιοδώρωι ἄρτοι [
60 σείτου ῾Αρμάει⟨⟨ς⟩⟩ βαλ(ανεῖ)
/ α ς =
/ δ ς =
εἶχες ¯c
ἄλλας δ = / δ ς –
65 ὑπερανηλίσκεις –
[ἄλ]λας ἔχεις δ
[ὀ]φείλεις γ ς = c ¯ε
καὶ ῾Ηλιοδ[ώ(ρωι)] ς
/ δ = c ¯ε ┼

Tafel 69 B (H. C?).

70 η̄ ἰς ναῦλον ⊦ γ
῾Ηλιοδώρωι ς –c
τῷ
ὀφιλίματο(ς) α c
ἐν τῆι Καλλικράτους
οἶνος = c ¯ε
75 [ἐκ] τοῦ Δέλτα οἶνος ς –c ¯ε / α c
[ ] / ε ς = c
[ ]ς – / ⊦ ς c
╳

Tafel 70 B (H. D).

ἔχεις δ = c ¯ε
ναῦλον ⊦ β
80 ∩ β = c ¯ε
καὶ ἐν τῆι φυλακῆι
ὄψον — c ¯ε ┼
[ἐμ Μ]έμφι ἐπιδείπνωι
[λά]χανα ὄξος ¯ε
85 [. . .] . . . ¯ε / = ¯ε
[. . .] ἐπὶ Δέλτα
[. . .] . λεν . . ¯ε ὄξος ¯ε
[. . .] . ∓ φανη ( ) ς–
[ἄρ]τοι — παιδαρίοις ∓
90 [ζ]ῦτος ¯ε / α ς c ¯ε
/ ⊦ β ∩ = c ¯ε

80. ∩ = λοιπαί. — Taf. 70 A ist leer.

Tafel 71 B (H. D?).

[. . . .] . βλιων ╳
[. . . .]νωι —
[. . . .]τους ἐπιτρα( )c
110 [. . . .] . αγη ς–

Tafel 71 A (H. D?).

[ ] . ταγη[
[ ]ι ⊦[
κωνει τῶν παιδα[ρίων
95 πράσα καὶ ἔτνος [
εἰς βαλανεῖον [
τοῖς παισὶ c
ἐπανηλίσκω =
ι̅α̅
100 ἔχω παρὰ Στράτω[νι]
ἐμ Μέμφι ⊦ α
τούτου
λάχανα ὄξος c
ἔλαιον –c
105 ἐμ [. .] . . . φυλακῆι
ὄψον –c

[. . . .]ειχος c
[⊦]α ς c χ
[ὑπερ]ανηλίσκω
] . τοις = c ⊦ α χ
115 [ἄρτο]υς τοῖς παιδαρίοις καὶ

[τοῖς] παισὶν ἀπὸ ιβ
[ἕω]ς ιδ τῆς ἡμέ(ρας) ς - / ⊦ β
/ ⊦ ϒ χ ×
Freiraum

ἐμ Πτολεμαΐδι ἔχω ⊦ κ β =
120 Στράτωνι καὶ τοῖς με-
[τό]χ(οις) αὐτοῦ ⊦ η - c

109. ἐπὶ τρά(πεζαν) (?), B.

Tafel 72 A (H. D).

κριθὴ τοῖς ὑποζυγίοις καὶ [τῶ]
ὀνηλάτηι τὰ δέοντα ς
ἔλαιον —
125 ζῦτον τοῖς παιδαρίοις ¯ε
ὄψον c ×
/ κ α c ∩ α - c

ε ἐμ Πτολεμαΐδι
ἀθάρα καὶ γάλα τοῖς πα[ι]-
130 δαρίοις c
ἄρτους —
ζῦτος ἐν τῆι ὁδῶι c
/ = ∩ / = c

Tafel 72 B (H. E).

Z
135 Φίλωνι οἴνο(υ) ⊦ α
Φιλίσκωι δάν-
ειον ς
μέλι α ς
[. .]λωνιλλο(υ)
140 [. .]ας ⊦ β
[. .]υσις ⊦ θ
/ ιδ
[. .]λιον -c

Tafel 73 A (H. F).

ζ φόρητρα σκε[υ]-
145 ῶν —
ναῦλον τῶν σκε[υ]-
ῶν εἰς Πτολεμαΐδ(α) ⊦ δ
τῆι Λύσιος γυνα[ικὶ
τρίβωνος Διογέ(νους) κ[αὶ]
150 πλύντρα c
εἰς βαλανεῖον ¯ε
Ἡρακλείδηι εἰς Πτ[ο]-
λεμαΐδα ἀνηλώ(ματος) ς
δ ς - c ¯ε

S. 75 f. rekonstruiert *Flinders Petrie* sehr phantasievoll eine fröhliche Bootsfahrt zweier Familien.

7452. Bleitafel. **Liebeszauber.** *C. C. Edgar*, A love charm from the Fayoum, Bulletin de la Société Archéologique d'Alexandrie No. 21 (Nouv. Série, Tome VI, 1 er fasc., 1925) S. 42 f. Gefunden in Hawaret el Maqta (Faijûm). Nicht später als 3. Jahrh n. Chr. Museum in Kairo (Inv.-No. 48217).

Παρακατα⟨⟨θ⟩⟩τ[ί]θομαι (so!) ὑμεῖν θεοῖς καταχθον[ίοις] καὶ θεαῖς καταχθονίαις, Πλούτωνι | [2] Υεσμιγαδωθ καὶ Κούρῃ Περσεφόνῃ Εροσχιγαλ καὶ Ἀδώνιδ τῷ καὶ Βαρβαριθα καὶ Ἑρμῇ | [3] Κατοχθονίῳ (so!) Θοοὺθ καὶ Ἀνούβιδι κραταιῷ Ψηριφθα, τῷ τὰς κλεῖδας ἔχοντι τῶν καθ' Ἅδ[ου] (so!),

| ⁴ καὶ δαίμοσι καταχθονίοις ἀώροις τε καὶ ἀώραις, μέλλαξί τε καὶ παρθένοις, ἐννιαυτοὺς (so!) [ἐξ ἐν] | ⁵ νιαυτῶν, μῆνας ἐκ μηνῶν, ἡμέρας ἐξ ἡμερῶν, νύκτας ἐγ νυκτῶν, ὥρας ἐξ ὡρῶν, ὁρκ̣[ίζω] | ⁶ πάντας τοὺς δαίμονας τοὺς ἐν τῷ τόπῳ τούτῳ, συνπαράστατε τῷ δαίμονι τούτῳ. διέγι- | ⁷ ρέ μοι σεαυτὸν νέκυς δαίμων, ὅστις ποτὲ εἶ, εἴτε ἄρσης εἴτε θήλια, καὶ ὕπαγε ⟨⟨ἰς⟩⟩ ἰς πάντα τόπον καὶ | ⁸ εἰς πᾶν ἄμφοδον καὶ εἰς πᾶσαν οἰκίαν καὶ κατάδησον Ἡρωνοῦν, ἣν ἔτεκεν Πτολεμαίς, ἐμοὶ Ποσι | ⁹ δωνίῳ, ὃν ἔτεκεν Θσενουβάσθις, ὅπως μὴ βεινηθῇ, μὴ πυγισθῇ, μὴ λεικάσῃ, μηδὲν πρὸς | ¹⁰ ἡδονὴν ποιήσῃ ἄλλῳ ἀνδρὶ εἰ μὴ ἐμοὶ μόνῳ Ποσιδωνίῳ, ἵνα μὴ δύνηται Ἡρωνοῦς μὴ | ¹¹ φαγεῖν, μὴ πεῖν, μὴ στέργειν, μὴ καρτερεῖν, μὴ εὐσταθεῖν, μὴ ὕπνου τυγχάνειν ἐκτὸς ἐμοῦ | ¹² Ποσιδωνίου, οὗ ἡ γῆ ἀκούουσα | ¹³ τὸ ὄνομα ἀνοίγεται οὗ οἱ δαίμονες ἀκούοντες τὸ ὄνομα ἔμφοβοι τρέμουσι, οὗ οἱ ποταμοὶ καὶ | ¹⁴ θάλασσαι ἀκούουσαι τὸ ὄνομα ἔμφοβοι φοβοῦνται, οὗ αἱ πέτραι ἀκούουσαι τὸ ὄνομα ῥήσσονται, ὁρκί | ¹⁵ ζω σε, νέκυς δαίμων, ὅστις ποτὲ εἶ, εἴτε ἄρσης εἴτε θήλια, κατὰ τοῦ βαρβαραμχελουμβρα | ¹⁶ βαρουχαμβρα ἀδωναίου καὶ κατὰ τοῦ αβραθαβρασαξ σεσενγενβαρφαραγγη καὶ κατὰ τοῦ | ¹⁷ ιαω ιωα πακεπτωθ πακεβραωθ σαβαρβαριαωθ μαρει ἐνδόξου καὶ κατὰ τοῦ μαρμαραιωθ καὶ | ¹⁸ κατὰ τοῦ μαρμαραωθ μαρμαραχθα αμαρζα μαρειβαιωθ, | ¹⁹ μή μου παρακούσῃς, νέκυς δαίμων, ὅστις ποτὲ εἶ, καὶ ὕπαγε ἰς πάντα τόπον καὶ ἰς πᾶν ἄμφο | ²⁰ δον καὶ εἰς πᾶσαν οἰκίαν καὶ ἔνεγκέ μοι Ἡρωνοῦν, ἣν ἔτεκεν Πτολεμαίς, καὶ κατάσχες αὐτῆς | ²¹ τὸν βρότον (l. βρῶτον) καὶ τὸν πότον, μὴ ἐάσῃς Ἡρωνοῦν ἄλλου ἀνδρὸς πεῖραν λαβεῖν, εἰ μὴ ἐμοῦ | ²² μόνου Ποσιδωνίου, ὃν ἔτεκεν Θσενουβάσθις, ἕλκε ται (l. τε) Ἡρωνοῦν τῶν τριχῶν καὶ τῶν | ²³ σπλάγχνων αὐτῆς πρὸς ἐμὲ Ποσιδώνιον πᾶσαν ὥραν τοῦ αἰῶνος, νυκτὸς καὶ ἡμέρας, | ²⁴ μέχρι οὗ ἔλθῃ Ἡρωνοῦς πρὸς ἐμὲ Ποσιδώνιον καὶ ἀδιαχώριστόν μου αὐτὴν ποιήσῃς μέ | ²⁵ χρι θανάτου, ἵν' ἔχω αὐτὴν Ἡρωνοῦν, ἣν ἔτεκεν Πτολεμαίς, ὑποτεταγμένην ἐγὼ Πο | ²⁶ σιδώνιος, ὃν ἔτεκεν Θσενουβάσθις, ἰς τὸν ἅπαντα χρόνον τῆς ζωῆς μου. ἤδη, ἤδη, ταχὺ, ταχὺ. ἐὰν τοῦτό μοι ποιήσῃς, ἀπολύσω σε.

7453. Weihinschrift. *E. Breccia*, Note epigrafiche, Bulletin de la Société Royale d'Archéologie d'Alexandrie 24 (Nouvelle Série, tome VII, 1ᵉʳ fascicule) [1929] S. 60 No. 1 mit Faksimile. Griechisch-römisches Museum in Alexandreia, Inv.-No. 22178.

Βασιλέα Πτολεμαῖον θεὸ[ν Φιλοπάτορα] | ² τὸν ἐγ βασιλέως Πτολεμαίο[υ καὶ Βερενίκης] | ³ θεῶν Εὐεργετῶν frei. | ⁴ Στρατοκλῆς Στρατοκλέ[ους

] | [5] ὁ γραμματεὺς τῶν κατοί[κων ἱππέων] | [6] καὶ οἱ υἱοὶ Στρατοκλῆς κ[αὶ] | [7] εὐεργεσίας ἕνεκεν τῆς [εἰς ἑαυτούς].

7454. Weihinschrift. Ebd. S. 61 f. No. 2 mit Faksimile. Griechisch-römisches Museum in Alexandria, Inv.-No. 22109. Aus Nitriai (Wâdi Natrûn). Zwischen c. 120/19 und 116 v. Chr.

Ὑπὲρ βασιλέως Πτολεμαίου | [2] καὶ βασιλίσσης Κλεοπάτρας | [3] τῆς ἀδελφῆς καὶ βασιλίσσης | [4] Κλεοπάτρας τῆς γυναικὸς | [5] Εὐεργετῶν οἱ ἐν Νιτρίαις | [6] Ἰουδαῖοι τὴν προσευχὴν | [7] καὶ τὰ συνκύροντα.

7455. Weihinschrift. Ebd. S. 62 f. No. 3 mit Faksimile. In Kafr el Dauar gekauft. Griechisch-römisches Museum in Alexandria, Inv.-No. 22152. 2. Mai 59 v. Chr.

Βασιλέα μέγαν Πτολεμαῖον θεὸν | [2] νέον Διόνυσον Φιλοπάτορα καὶ | [3] Φιλάδελφον Ἡφαιστίων Θρασύλλου | [4] ὁ συγγενὴς καὶ διοικητὴς καὶ πρὸς | [5] τῷ ἰδίῳ λόγῳ καὶ τοῖς πρωχείροις (= προχείροις) | [6] (ἔτους) κα, Φαρμοῦθι κζ.

7456. Widmungsinschrift. Ebd. S. 64 f. No. 4 mit Faksimile. Herkunft unbekannt. Griechisch-römisches Museum in Alexandria, Inv.-No. 22180. Ptolemäisch.

Πρῶτοι φίλοι καὶ | [2] χιλίαρχοι λογχοφόροι | [3] εἴδους Βιθυνῶν δευτέρων | [4] Καραδύσην Φιλοθήρου | [5] τὸν ἑαυτῶν συνστρατιώτην | [6] γυμνασιαρχήσαντα τὸ η (ἔτος) | [7] ἀρετῆς καὶ φιλαγαθίας | [8] χάριν.

7457. Ehrenbeschluß auf Steinstele. Ebd. S. 66 f. No. 5 mit Lichtbild (Pl. VII). Aus Kôm Tukala. Etwa Zeit des 5.—7. Ptolemäers. Griechisch-römisches Museum in Alexandria, Inv.-No. 22175.

* Ἀγαθῆι Τύχηι. * | [2] Ἔτους πεντεκαιδεκάτου, Θωὺθ μιᾶι καὶ εἰκάδι. Ἐπὶ τῆς γενομένης συνα | [3] γωγῆς τῶν συγγεωργῶν, ἐχόντων δὲ τὰς κτήσεις περὶ Ψεναμῶ | [4] σιν τοῦ Βερενίκης νομοῦ, λόγων γενομένων περί τε ἄλλων καὶ διότι Πάρις | [5] ὁ συγγενὴς φιλανθρώπως χρώμενος τῆι συνόδωι καὶ κοινῆι πάντας καὶ | [6] κατ' ἰδίαν ἀποδεχόμενος, ἔχων τόπον ψιλὸν εἰς οἰκοδομὴν γυμνασίου καὶ οἴκου, | [7] βουλομένων ἡμῶν ἀγοράσαι τοῦτον, ὅπως γυμνάσιον ποιήσαντες καὶ οἶκον ἄγω | [8] μεν τὰς ὑπὲρ τῶν βασιλέων θυσίας, οὐχ ὑπέσχετο λαβεῖν τιμήν, ἀλλ' ἐχαρίσατο καὶ | [9] κατέγραψεν τῆι συνόδωι δωρεάν· διὸ καὶ ἔδοξεν ἀποδέξασθαί τε αὐτὸν καὶ τιμῆ | [10] σαι εἰκόσι δυσίν, ἃς καὶ ἀναθεῖναι ἔν τε τῶι γυμνασίωι καὶ οἴκωι καὶ στεφανοῦσθαι | [11]

αὐτὰς κατὰ τὰς ἐπωνύμους ἡμέρας, ἐν αἷς συναγόμενοι θύομεν ὑπὲρ τῶν βασιλέ | [12] ων, ὁμοίως δὲ καὶ κλισίαν ἔχειν αὐτὸν τὴν πρώτην διὰ βίου, ἄγεσθαι δὲ αὐτοῦ καὶ ἡμέ | [13] ραν κατ' ἐνιαυτὸν ἐπὶ τῶν τόπων καὶ ἐπιγραφῆναι ἐπὶ τοῦ πυλῶνος ἀνατεθεικότα | [14] Πάριν τὸν συγγενῆ τὸν τόπον τῆι τῶν γεούχων συνόδωι· δίκαιον γὰρ τοῖς φιλαγάθως | [15] τῶι κοινῶι ἀπαντῶσιν τὴν παρὰ πάντων μεμιρίσθαι (so!) τιμήν· ἐὰν δὲ καὶ ἕτερα φιλο | [16] τιμούμενος ἀπολείπηι τῶι κοινῶι, καὶ ἄλλην αὐτοῦ ἐν τῆι πόλει ἡμέραν ἄγεσθαι | [17] καὶ τὴν εἰκόνα, οὗ ἂν εὐωχῶνται ἀνατιθέντα⟨ς⟩ στεφανοῦν κατὰ πόσιν, ἐπιδέξα | [18] σθαι δὲ εἰς τὴν σύνοδον δωρεὰν τοὺς ὑπ' αὐτοῦ τιμωμένους ἄνδρας τρεῖς, | [19] ὧν ἂν τὰ ὀνόματα ἐπιδῶ⟨ι⟩. Τύχηι τῆι ἀγαθῆι· ὑφ' ὃ καὶ ὑπέγραψαν ὄντες κθ'. | [20] — Ἔτους ὀκτωκαιδεκάτου, Φαῶφι. Ἐπεὶ Πάρις ὁ συγγενὴς οἰκείως καὶ φιλαν | [21] θρόπως (so!) τὰ πρὸς ἡμᾶς διακείμενος πρότερον μὲν τοῦ ὑπάρχοντος αὐτῶι ἔν τε | [22] Ψεναμώσει τόπου εὐθετοῦντος ἡμῖν εἰς οἰκοδομὴν οἴκου καὶ γυμνασίου, προ | [23] αιρουμένων ἡμῶν τιμὴν αὐτοῦ δοῦναι οὐκ (so!) ὑπέσχετο λαβεῖν, ἀλλὰ δωρεὰν ἐχαρί | [24] σατο, ὅθεν καὶ παρ' ἡμῶν γεγονέναι αὐτῶι τιμὰς τὰς διὰ τοῦ προκειμένου δόγμα | [25] τος κεκυρωμένας εἰκόνας δύο, ἃς καὶ ἀναθεῖναι ἔν τε τῶι γυμνασίωι καὶ τῶι οἴκωι | [26] καὶ στεφανοῦσθαι αὐτὰς κατὰ τὰς ἐπωνύμους ἡμέρας, ἐν αἷς συναγόμενοι θύο | [27] μεν ὑπὲρ τῶν βασιλέων, ὁμοίως δὲ καὶ κλισίαν ἔχειν αὐτὸν τὴν πρώτην διὰ βίου, | [28] ἄγεσθαι δὲ αὐτοῦ καὶ ἡμέραν κατ' ἐνιαυτὸν ἐπὶ τῶν τόπων καὶ ἐπιγραφῆναι ἐπὶ τοῦ | [29] πυλῶνος ἀνατεθεικότα Πάριν τὸν συγγενῆ τὸν τόπον τῆι τῶν γεούχων συνό | [30] δωι. δίκαιον γὰρ τοῖς φιλαγάθως τῶι κοινῶι ἀπαντῶσιν τὴν παρ' αὐτῶν μεμερίσθαι | [31] τιμήν. ἐπιδέξασθαι δὲ εἰς τὴν σύνοδον δωρεὰν τοὺς ὑπ' αὐτοῦ τιμωμένους ἄνδρας | [32] τρεῖς, ὧν τὰ ὀνόματα δώσει. καὶ νυνὶ ἐν τῶι εἰκοστῶι ἔτει προτεθυμημένου αὐτοῦ | [33] ἐπαύξειν τὴν σύνοδον ἡμῶν καὶ δεδωρημένου εἰς τὰς ἀχθησομένας αὐτοῦ | [34] κατ' ἔτος ἄλλας ἡμέρας δύο, ὥστ' εἶναι τοῦ ἐνιαυτοῦ ἡμέρας τρεῖς, ὧν ἐν μὲν Ἀλεξαν | [35] δρείαι τῶι Θωὺθ μίαν ἀνατιθέντας αὐτοῦ εἰκόνα γραπτὴν καὶ στεφανοῦντας, οὗ ἂν εὐωχῶν | [36] ται, καὶ ἐν Ψεναμώσει ἐν τῶι Φαρμοῦθι μετὰ τὴν τοῦ Ἀπόλλωνος ἡμέραν μίαν, καθότι προδέ | [37] δοκται, καὶ ἐν τῶι Μεσορὴ ἐπὶ τοῦ τρυγήτου ἄλλην ἡμέραν μίαν, εἰς ἃς καὶ δέδωκεν ἀργυρίου | [38] δραχμὰς χιλίας, ὅπως ἀπὸ τοῦ συναχθησομένου κατ' ἐνιαυτὸν τόκου ἀργυρίου δραχμῶν | [39] διακοσίων ἡ δαπάνη γίνηται τῶν προσεκτισμένων αὐτοῦ ἄλλων ἡμερῶν δύο. εἶναι δὲ | [40] αὐτὸν καὶ ἱερέα διὰ βίου καὶ ἀζήμιον καὶ ἀσύμβολον καὶ ἀνεπιμηνίευτον καὶ ἀλειτούργη | [41] τον καὶ ἀνείσφορον καὶ λαμβάνειν διπλᾶ μέρη.

ἐὰν δὲ μὴ παρῆι, πέμπεσθαι αὐτῶι· στεφανοῦ | [42] σθαι δὲ καὶ κατὰ πόσιν διαφέροντι στεφάνωι ὑπὸ τοῦ κοινοῦ· ἐὰν δὲ γηραιὸς (so!) γενόμενος με- | [43] ταλλάξηι, ἐπιφέρειν αὐτῶι κατ' ἐνιαυτὸν εἰς τὸν τάφον τοῖς νεκυσίοις τὴν σύνοδον τὰ νο | [44] μιζόμενα καὶ στεφανοῦν ἐκ τοῦ κοινοῦ κατὰ πόσιν διαφέροντι στεφάνωι, γραφῆναι δὲ | [45] ὑπὲρ τῶν προκειμένων πάντων ψήφισμα ἐν στήληι καὶ ἀναθεῖναι ἐν τῶι πυλῶνι τοῦ τε | [46] μένους περὶ τῶν ἀχθησομένων αὐτοῦ κατ' ἔτος ἡμερῶν τριῶν καὶ ἀνατεθησομένων | [47] εἰκόνων τριῶν, ἀκολούθως τοῖς δόγμασι τούτοις. Τύχηι τῆι ἀγαθῆι ὑπογραψάντων πάν | [48] των τῶν συνόντων εὐδοκεῖν καὶ ποιήσειν πάντα, καθότι πρόκειται· ὑφ' ὃ καὶ ὑπέγραψαν | [49] πάντες εὐδοκοῦντες.

7458. Weihinschrift. Ebd. S. 71 No. 6 mit Faksimile. Aus der Oase Siwa (Aghurmi). Zeit von Hadrians ägyptischem Aufenthalt. Griechisch-römisches Museum in Alexandria, Inv.-No. 22159.

[Αὐτοκράτορ]α̣ Κ̣α̣[ίσαρα | [2] θεοῦ Τραια]νοῦ Παρθικ̣[οῦ | [3] υἱὸν θεοῦ] Νέρουα υἱω[νὸν | [4] Τρα̣]ιανὸν Ἁδριαν̣[ὸν | [5] Σεβαστὸ]ν ἀρχιερέ[α | [6] μέγιστον δ̣]ημαρχικῆς ἐξου[σίας usw.

7459. Papyrus. **Brief.** *C. Wessely,* Jus lapides transportandi, Studi in onore di P. Bonfante Vol. II 17 f. (1929). Aus dem Arsinoïtes. Sammlung C. Wessely, Wien. 3. Jahrhundert n. Chr.

Π(αρὰ) Λουκίου Φαυστείνου. | [2] [Γ]ίνωσκε τὸν λαμπρό | [3] τατον ἡμῶν ἡγεμό | [4] να ε[ὐ]ν̣ο̣[ι]κῶς συνκε | [5] χωρηκέναι τὸ μετα | [6] γαγῖν ἡ̣μᾶς τοὺς λίθους | [7] ἀπὸ τοῦ Σαπαλίου. ἔγραψα | [8] [ο]ὖν σοι, ἵνα̣ μηδὶς ἐξέρ | [9] [χ]ηται τῶν αἱρεθέν | [10] τ[ω]ν̣ [ε]ἰς τοῦτο πρὸς τὸν | [11] ἡγεμόνα. μαθέτω | [12] δὲ καὶ Ἀντωνῖνος. Spatium von 1. Z. Φαρμοῦθι α.

---

7. Σαπαλίου ist das ἄμφοδον, das auch Ψαππαλίου oder Ψανπαλλίου geschrieben wird.

7460. Papyrus. **Κατ' οἰκίαν ἀπογραφή** aus einem τόμος συγκολλήσιμος von 18 gleichartigen Dokumenten. *M. Hombert,* Une famille nombreuse en Égypte au IIe siècle, Mélanges Paul Thomas 1930, 440 f. (= Kolumne 10 der Rolle). Aus Thelbonthon Siphtha (im Prosopites); Musées Royaux du Cinqantennaire, Brüssel.

ϙθ. | [1] Ἀπίωνι βασιλ(ικῷ) γρ(αμματεῖ) Προσωπ(είτου) | [2] παρὰ Παντβεῦτος Πετῶτος | [3] καὶ Τιθουννήσιος καὶ Ἁροννήσιος | [4] καὶ Φαλακρήους τῶν δ' ἀπὸ Θελ | [5] βόνθον Σίφθα. Ἀπογρ(αφόμεθα) κατὰ τὰ | [6] ὑπὸ Καλουεισίου Στατιανοῦ | [7] τοῦ λαμπ(ροτάτου) ἡγεμόνος προσ | [8] τεταγμ(ένα) εἰς

τὴν ἐπ' ἀγαθοῖς | [9] γεινομ(ένην) κατ' οἰκ(ίαν) ἀπογρ(αφὴν) τὰ ὑπάρ | [10] χοντα ἡμῖν ἐν τῇ κώμῃ | [11] οἰκ(ίαν) καὶ ψιλ(οὺς) τόπους Παντβεῦτος καὶ | [12] Τιθουννήσιος καὶ Φαλακρήους | [13] καὶ Ἀροννήσιος τῶν δ' Πετῶτος | [14] Πνεφερ(ῶτος), ἐν ᾗ | [15] Παντβ(εὺς) Πετῶτ(ος) Πνεφερ(ῶτος), | [16] μητ(ρὸς) Θαειήους Ψεναμού(νιος), | [17] (ἐτῶν) μθ ἄση(μος), | [18] Θέρως Ἀμμωνίου Ἡφαιστίω(νος), | [19] μη(τρὸς) Ταφιβίχιος, ἡ γυνὴ (ἐτῶν) κα, | [20] Πετῶς Παντβ(εῦτος), μητ(ρὸς) Θαψᾶθις | [21] Πετῶτο(ς) (ἐτῶν) ια μονόφθ(αλμος), | [22] Ἀμμώνιος ὁ ἀδελ(φός), μητ(ρὸς) Θέρωτος, | [23] (ἐτῶν) ε ἄση(μος) | [24] Ταφίβιχις ἡ ἀδελ(φὴ) τῶν α(ὐτῶν) γονέων | [25] (ἐτῶν) δ, | [26] Θαειῆς ἄλλη ἀδελ(φὴ) (ἐτῶν) β. | [27] Τιθουννῆσις Πετῶτος, μητ(ρὸς) | [28] Θαειήους, ἐτῶν δ ἄσημος, | [29] Σπαθῆς ἀδελ(φὴ) καὶ γ(υνὴ) (ἐτῶν) μ, | [30] Θέρως ἡ ἐξ ἀμφοτ(έρων) θυγ(άτηρ) | [31] (ἐτῶν) ιβ, | [32] Θαψᾶθις ἡ ἀδελ(φὴ) τῶν α(ὐτῶν) | [33] γονέων (ἐτῶν) η. | [34] Φαλακρῆς Πετῶτος Πνεφ(ερῶτος), | [35] μητ(ρὸς) Θαειήους Ψεναμού(νιος), | [36] (ἐτῶν) λ ἄση(μος), | [37] Τααρτῦσις Σαίφιος Πνεφε | [38] ρόντιθ(ος), μητ(ρὸς) Ἀχιλλεῖτ(ος), | [39] ἡ γ(υνὴ) (ἐτῶν) λ, | [40] Νουᾶτις ἡ θυγ(άτηρ), μητ(ρὸς) Θερ | [41] μούθ(ιος) Πνεφ(ερῶτος), (ἐτῶν) ε. | [42] Ἀροννῆσις Πετῶτος | [43] Πνεφ(ερῶτος), μητ(ρὸς) Θαειήους | [44] Ψεναμού(νιος), (ἐτῶν) κα ἄση(μος), | [45] Θανίβιχις Ἑρπαήσιος, μητ(ρὸς) | [46] Θσεναμοῦνις, ἡ γ(υνὴ) (ἐτῶν) ιθ, | [47] Ἑρπαῆσις ἐξ ἀμφοτ(έρων) γονέων | [48] (ἐτῶν) β ἄση(μος), | [49] Θσεναμοῦνις ἡ ἀδελ(φὴ) τῶν α(ὐτῶν) | [50] γονέων (ἔτους) α. | [51] Ἔτους ιδ' Αὐτοκράτορος Καίσαρος | [52] Μάρκου Αὐρηλίου Ἀντωνίν[ου] | [53] Σεβαστοῦ Ἀρμενιακοῦ | [54] Μηδικοῦ Παρθικοῦ | [55] Γερμανικοῦ Μεγίστου, | [56] Ἐπεὶφ κε. | [57] Παντβ(εὺς) Πετῶ(τος) Πνε(φερῶτος) καὶ οἱ ἀδελ(φοὶ) | [58] ἐπιδεδώκα(μεν) ὡς Ἱερακίων | [59] Παντβ(εῦς) ἔγρ(αψα) ὑπ(ὲρ) αὐτῶν . . . | [60] Δι' Ἁρποκ(ρατίωνος), σελὶς β.

7461. Papyrus Graux No. 1. **Amtliches Schreiben.** *H. Henne*, Papyrus Graux (Nos 1 et 2), Bulletin de l'Institut Français d'Archéologie Orientale du Caire 21 (1923), 189 f. mit Lichtbild. *Wilcken*, Archiv f. Papyrusforschung 8 (1927), 310 f. Sammlung des Institut Français usw., Kairo. Im Faijûm gekauft, aber wohl im Herakleopolites gefunden. 18. April 45 n. Chr.

Διονυσόδωρος Ἰουλίωι Ἰόλλαι | [2] τῶι φιλτάτωι πλεῖστα χαίρειν· | [3] Προσῆλθέν μοι Νεμεσᾶς, πράκτωρ | [4] λα[ογ]ραφίας κώμης Φιλαδελφείας, | [5] λ[έγ]ων ὀνόματα εἶναι ἔν τισιν | [6] κώμαις τοῦ ὑπὸ σὲ νομοῦ ὀφείλοντα | [7] λαογραφίαν. Διὸ ἐρωτῶ σε συνπέμψαι | [8] τινὰς αὐτῶι, ὅπως τὰ ὀφειλόμενα | [9] αὐτῶι εἰσπραχθῆι καὶ χωρήσῃ εἰς τὸ | [10] δημόσιον. καὶ σὺ δέ, περὶ ὧν βούλει, | [11] γράφε μοι ὡς ἥδιστα ποιήσοντι· | [12] Πρὸ δὲ πάντων

| [13] ἔρρωσο. | [14] (Ἔτους) ε̄ Τιβερίου Κλαυδίου Καίσαρος | [15] Σεβαστοῦ Γερμανικοῦ | [16] αὐτοκράτορος, Φαρμοῦθι κγ̄. Verso: | [17] Γαίωι Ἰουλίωι [Ἰόλλ]α[ι] στρ[ατ]ηγῶι Ἡρακλεοπολ(είτου).

7462. Papyrus Graux No. 2. **Entwurf einer Eingabe an den Präfekten von Ägypten.** *H. Henne*, Papyrus Graux, Bulletin de l'Institut Français d'Archéologie Orientale du Caire 21 (1923), 195 f. mit Lichtbild. *Wilcken*, Archiv f. Papyrusforschung 8 (1927), 311. Im Faijûm gekauft. Zwischen 55 und 60 n. Chr. Sammlung des Institut Français usw., Kairo.

Τιβερίωι Κλαυδίωι Βαλβίλλωι | [2] παρὰ Νεμεσίωνος πράκτορος λαογραφ(ίας) Φειλ(αδελφείας) καὶ Χαριδήμου πράκτορος λαογρ(αφίας) Βακχ(ιάδος) καὶ | [3] Σαμβᾶτος πράκτορος λαογρ(αφίας) Νέστο(υ) ἐποικί(ου) καὶ Πανεφρέμμιος πράκτορος Σοκνο|[4]παίο(υ) Νή(σου) καὶ Ἰσχυρίωνος πράκτορος λαογρ(αφίας) Φειλοπατόρας καὶ Πτολεμαίου πράκτορος λαογρ(αφίας) Ἱερᾶς Νήσου, τῶν ἓξ πρακτό | [5] ρων [[λαογραφίας τινῶν]] τῶν προκειμένων κωμῶν τῆς | [6] Ἡρακλείδου μερίδος τοῦ Ἀρσινοΐτου νομοῦ· | [7] Ἀπὸ τῶν ἔμπροσθεν πολυανδρούντων | [8] ἐν ταῖς προκειμέναις κώμαις νυνεὶ κα | [9] τήντησαν εἰς ὀλίγους διὰ τὸ τοὺς μὲν | [10] ἀνακεχωρηκέναι ἀπόρους, τοὺς δὲ τετε | [11] λευτηκέ[ναι] μὴ ἔχοντας ἀγχιστεῖς καὶ διὰ | [12] τοῦτο κ[ιν]δυνεύειν ἡμᾶς δι' ἀσθένειαν | [13] προλιπε[ῖν] τὴν πρακτορείαν· ὧν χάριν | [14] ἐπὶ σὲ κατ[α]ντήσαντες [[πρὸς τὸ μὴ προλι | [15] πεῖν τὴν [π]ρακτορείαν]] ἀξιοῦμέν σε, τὸν | [16] πάντων σωτῆρα καὶ εὐεργέτην, ἐὰν φαί | [17] νηται, γράψαι τῶι τοῦ νομοῦ στρατηγῶι | [18] Ἀσινιανῶι ἀπαρανοχλήτους ἡμᾶς φυλάξαι | [19] [κα]ὶ ἐπισχεῖν μέχρι τῆς σῆς διαγνώσε | [20] ως ἐπὶ διαλογισμοῦ τοῦ νομοῦ ἄνω, ἵν' ὦμεν εὐεργετ(ημένοι). | [21] Διευτύχει.

Z. 1. Zu Balbillus s. *Rostowzew*, JEA. 12, 28 f.
Z. 18. L. ἀπαρ⟨ε⟩νοχλήτους, *Wilcken*.
Z. 21 ist im Pap. unterstrichen.

7463. Papyrus Graux No. 3. **Eidliche Erklärung.** *H. Henne*, Papyrus Graux, Bulletin de l'Institut Français d'Archéologie Orientale du Caire 27 (1927), 1 f. Vgl. *Henne*, Ebd. 28 (1929), 11 f.; *Wilcken*, Archiv f. Pap. 8 (1927), 311 f. Im Faijûm gekauft. 16. Dezember 51 n. Chr. Sammlung des Institut Français usw., Kairo (Inv.-No. 315).

Φ[. . δεις] Πετεαρψενήσιος ὡ(ς) (ἐτῶν) μ' ο(ὐλὴ) πήχ(ει) ἀρισ(τερῷ). | [2] Φ[. .]δεις Πετεαρψενήσιος προβατοκτηνο | [3] τρόφος τοῖς παρὰ Ἀμμω-

νίου στρατηγοῦ | 4 Ἀρσινοίτου· Ὀμνύωι (so!) Τιβέριον Κλαύδιον | 5 Καίσαρα Σεβαστὸν Γερμανικὸν | 6 αὐτοκράτορα, εἶ μὴν μὴ ἔχιν σὺν | 7 ἐμοὶ Ἐσοῦριν Νεκφερῶτος ποι | 8 μένα τῶν ἀπὸ Φιλαδελφέας τῆς | 9 Ἡρακλείδου μερίδος καὶ μηδὲν | 10 διεψεῦσθαι· εὐορκοῦντι μέν μοι | 11 εὖ εἴηι (so!), ἐφιορκοῦντι δὲ τὰ ἐναντία· | 12 Ἔγραψεν ὑπὲρ αὐτοῦ Σαραπίων νομο | 13 γράφος φαμένου μὴ ἰδέναι γράμματα. | 14 (Ἔτους) δωδεκάτου Τιβερίου Κλαυδίου | 15 Καίσαρος Σεβαστοῦ Γερμανικοῦ | 16 Αὐτοκράτορος, Χοίαχ ἐννέα καὶ δεκάτηι.

1. 2. Vielleicht lautet der Name Φ[ά]σεις, Hg.

7464. Papyrus Graux No. 4 (in 3 Exemplaren). **Beschwerde eines Arabotoxotes beim centurio wegen Mißhandlung.** *H. Henne*, Ebd. 4 f. *Wilcken*, Archiv f. Pap. 8 (1927), 312. Im Faijûm gekauft. 22. November 248 n. Chr. Sammlung des Institut Français usw., Kairo.

Αὐρηλίωι Μαρκιανῶι (ἑκατοντάρχωι) | 2 παρὰ Αὐρηλίου Σαραπίωνος Πάσει ἀπὸ κώμης Φιλαδελ | 3 φείας· Ὕβρεως οὐδὲν οὔτε δεινότερον οὔτε χαλεπώ | 4 τερον· εἰς τοῦτο γὰρ ἡλικίας ἐλθών, ὀγδοηκοστὸν καὶ | 5 πρὸς ἐνιαυτὸν γενόμενος, ἀμέμπτως ὑπηρετῶ | 6 ἀραβοτοξότης ὤν· χοίρου ὑὸς ἀποπλανηθείσης | 7 τῆς θυγατρός μου ἐν τῇ κώμῃ καὶ ὀνομαζομένης | 8 ὡς παρὰ Ἰουλίωι στρατιώτῃ, προσῆλθον αὐτῷ | 9 αἰτήσων ὅρκον περὶ τούτου· ὃς λαβόμενός μου | 10 τοῦ πρεσβύτου ἐν τῇ κώμῃ μεσούσης ἡμέρας, ὡς | 11 οὐκ ὄντων νόμων, πληγαῖς με ᾐκίσατο, παρόντων | 12 Νεπωτιανοῦ ἐπιτρόπου τοῦ διασημοτάτου Οὐαλερίου | 13 Τιτανιανοῦ καὶ Μαύρου καὶ Ἀμμωνίου ἀραβοτοξοτῶν, | 14 ὡς, ἀγανακτησάντων αὐτῶν ἐπὶ πλησσομένου μου, | 15 διαλῦσαι ἡμᾶς, καὶ μόλις ἐπικερδᾶναι ψυχῆς | 16 ἐπιβουλήν· ἀναγκαίως τὴν ἐπίδοσιν τῶν βιβλιδίων ποι | 17 οῦμαι καὶ ἀξιῶ ἀχθῆναι αὐτὸν πρὸς τὸ τὰ τολμηθέν | 18 τα ἐκδικίας τυχεῖν καὶ μένη μοι ὁ λόγος· Διευτύχει· | 19 Σαραπίων ὡς (ἐτῶν) πδ, οὐλὴ γόνατι δεξιῷ. | 20 (Ἔτους) κς Αὐτοκρατόρων Καισάρων Μάρκων | 21 Ἰουλίων Φιλίππων Εὐσεβῶν Εὐτυχῶν Σεβαστῶν, Ἁθὺρ κς.

Zugrunde gelegt ist das Exemplar a. 2. Φάσει b; Πασει c. 5. ἐννιαυτόν c. 6. χύρου b. 15. ψυχῆς ἐπιβουλήν (ν auf σ korrigiert) a (?); b; ψυχὴν ἐπιβουλή c. 18. L. μένει oder ⟨ὅπως⟩ μένῃ.

7465. Papyrus Graux No. 5. **Abschriftliche Mitteilung einer Bank über Barauszahlung einer Geldsumme.** *H. Henne*, Ebd. S. 8 f. *Wilcken*, Archiv f. Pap. 8 (1927), 312. Im Faijûm gekauft. 8. Oktober 44 n. Chr. Sammlung des Institut Français usw., Kairo (Inv.-No. 316).

ʼΑντίγρ(αφον) διεγβολ(ῆς) διὰ τῆ(ς) ʼΑκεσιλ(άου) | ² τρ(απέζης) Κλεο(πατρίου). Ἔτους πέμπτου | ³ Τιβερίου Κλαυδίου Καίσαρος | ⁴ Σεβαστοῦ Γερμανικοῦ Αὐτοκράτο(ρος), | ⁵ Φαῶφι ια. Νεμεσίων Ζωίλ(ου) | ⁶ Ἡρακλείδη Ἑρμοδώρου. | ⁷ ἀπεῖχεν αὐτ[ο]ῦ ἐν παραθήκ(ηι) | ⁸ καθ' ἑξαμάρτυρο(ν) ὁμολογίαν, | ⁹ ἣν καὶ ἀνακεκόμισται εἰς | ¹⁰ ἀκύρωσιν καὶ ἀθέτησιν, | ¹¹ ὑπογεγραμμένην ἀργυρίου | ¹² (δραχμὰς) διακοσίας, γί(νεται) σ.

---

2. Oder Κλεο(πάτρας). 7. Zu erwarten wäre: ἀπέχειν αὐτόν. *Wilcken* a. a. O. emendiert ⟨ἀπέχειν αὐτόν (sc. Ἡρακλείδην), ἃς⟩ ἀπεῖχεν (sc. Νεμεσίων) ⟨παρ' (?)⟩ αὐτ[ο]ῦ usw.

7466. Papyrus Graux No. 6. **Kaufvertrag unter Vorauszahlung des Kaufpreises.** *H. Henne*, Ebd. S. 12 f. Vgl. *Henne*, Ebd. 28 (1929), 13 f. Aus Theadelpheia (im Faijûm gekauft). 18. Febr. 147 n. Chr. Sammlung des Institut Français usw., Kairo (Inv.-No. 318).

